# De his, quae haec vita continet

# Περὶ ὧν ἔχει ὁ βίος

Ἐννοήσωμεν, ἀδελφοί, ὅτι οὐδὲν ἡμᾶς ὠφελήσει τὰ πέρατα τοῦ κόσμου ἐν τῇ ἡμέρᾳ τῆς ἀπολογίας ἡμῶν· καὶ μὴ διὰ τὰ μηδαμινὰ καὶ φθαρτὰ πράγματα ζημιωθῶμεν τὴν μακαρίαν ἐκείνην τρυφὴν τοῦ παραδείσου καὶ τὰ μηδέποτε παρερχόμενα ἀγαθά, ἅπερ οὐ δύναται στόμα ἀνθρώπινον διηγήσασθαι, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι. Τί ὠφελεῖ, ἐὰν ἄνθρωπος ὅλον τὸν κόσμον κερδήσῃ, ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν καὶ ἀπὸ βορρᾶ ἕως θαλάσσης, καὶ πάντα ὅσα ἔχει χρήματα, κτήματα, τρυφάς, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Μὴ δύναται ἐκεῖνα ὑπὲρ αὐτοῦ ἀπολογήσασθαι ἐκεῖ; Διὰ τοῦτο ἔλεγεν ὁ σοφὸς Σολομών· ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Τί δὲ καὶ ἔχει ὁ ψυχοφθόρος οὗτος καὶ μάταιος βίος; Ὅτι πᾶσα σπουδὴ καὶ ἀγῶνες καὶ ἱδρῶτες ὑπὲρ τούτου γίνονται, καὶ ὁ νοῦς τῶν ἀνθρώπων εἰς αὐτὸν δέδεται. Περὶ τῶν μελλόντων ἀγαθῶν λόγος οὐδείς, οὐδὲ σπουδή, περὶ δὲ τῶν προσκαίρων καὶ φθαρτῶν καὶ σπουδὴ καὶ δρόμοι καὶ μάχαι καὶ ἔχθραι καὶ ἐπιχειρήσεις. Πολλάκις δὲ καὶ αἵματα ἐκχέονται διὰ μηδαμινὸν πρᾶγμα, καὶ μετὰ μικρὸν ἀφήσει αὐτό· ἐξέρχεται τοῦ βίου γυμνὸς καὶ ἐλεεινός, μηδὲ τὰ ὧδε κερδήσας, μηδὲ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχών. Ὢ τοῦ ματαίου δρόμου! Ὢ τοῦ ψυχοφθόρου βίου τούτου! Πῶς χλευάζει τὸν ἄνθρωπον! Ἐνθυμήθητι οὖν, ἄνθρωπε, τί ἔχει ὁ βίος. Ἔχει δυσωδίαν, θλῖψιν, κόπον, ὀδύνην, ἄπαυστον δρόμον, ἀδικίαν, πλεονεξίαν, ψεῦδος, κλοπάς, φαρμακείας, βασκανίας, αἰχμαλωσίας, ναυάγια, χηρείας, ὀρφανίας, ἀφορίας, λοιδορίας, συκοφαντίας, ὀνείδη, ζημίας, ἁρπαγάς, στεναγμούς, πολέμους, μῖσος, φθόνον, φόνους καὶ γῆρας καὶ νόσους καὶ ἁμαρτίαν καὶ θάνατον. Ἤκουσας τί ἔχει ὁ παρὼν βίος; Μηκέτι αὐτὸν ποθήσῃς, τὸν πλάνον, τὸν ἐμπαίκτην καὶ ἀπατεῶνα, τὸν πολλοὺς χλευάζοντα, τὸν πολλοὺς τυφλώσαντα. Ὢ τῆς δολερᾶς ἐπινοίας τοῦ πονηροῦ καὶ ἄρχοντος τοῦ κόσμου! Πῶς εἰς τὰ πρόσκαιρα καὶ φθαρτὰ πάντας κατέπαυσε, τῶν δὲ αἰωνίων ἀγαθῶν λήθην ἐνέβαλεν! Οὐκ ἔστι γὰρ ὁ συνιών.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.